κατηθάλωσας ἐλπίδος κενοῖς μύθοις,
τοιαῦτ᾽ Ἔρωτος Εὐπάτωρ ἐρασθείη.

Phot. *bibl.* 248. 437a (VII, p. 121 Henry) οὐδέ γε Εὐριπίδου φήσομεν τὸ ἰαμβεῖον εἶναι τό·

σοφοὶ τύραννοι τῶν σοφῶν συνουσίᾳ,

[οὐδ᾽ εἴ τις οὕτω τῶν σοφῶν εἴρηκεν]· ἔστι γὰρ ἐξ Αἴαντος Σοφοκλέους, Αἴαντος τοῦ Λοκροῦ (fr. 14 [TrGF IV, p. 120] Radt).

Constant. Porph. *de sent.* 63. 22 sqq. Boissevain ὅτι τρωθέντος τοῦ Ἀλεξάνδρου καὶ λειποψυχήσαντος καὶ φερομένου ἐπ᾽ ἀσπίδος ἄλλοι ἄλλα αὐτῷ ἔλεγον ὀνειδίζοντες, ἄνθρωπον δέ τινα πρεσβύτερον Βοιώτιον, ἀχθόμενον πρὸς τὰς ἐπιτιμήσεις τῶν φίλων καταμαθεῖν Ἀλέξανδρον ἐσκυθρωπακότα, καὶ προσελθόντα τοῦτον βοιωτιάζοντα ἅμα τῇ φωνῇ, ταῦτα, φάναι· «ὦ Ἀλέξανδρε, ἀνδρῶν τὰ ἔργα»· καί τι καὶ ἰαμβεῖον ὑπειπεῖν, τὸν δὲ νοῦν εἶναι τοῦ ἰαμβείου (Soph. fr. 223b [TrGF IV, p. 230] Radt) ὅτι τῷ τι δρῶντι καὶ παθεῖν ἐστιν ὀφειλόμενον.

Constant. Porph. *de sent.* 249. 16 sq. Boissevain ὅτι περιεφέρετο καὶ ἰαμβεῖον (ἰάμβιον *cod., corr. Mai*)·

Νέρων Ὀρέστης Ἀλκμαίων μητροκτόνοι.

Constant. Porph. *de them.* 91. 33 sqq. Pertusi ἐσθλαβώθη δὲ πᾶσα ἡ χώρα καὶ γέγονε βάρβαρος, ὅτε ὁ λοιμικὸς θάνατος πᾶσαν ἐβόσκετο τὴν οἰκουμένην, ὁπηνίκα Κωνσταντῖνος, ὁ τῆς κοπρίας ἐπώνυμος, τὰ σκῆπτρα τῆς τῶν Ῥωμαίων διεῖπεν ἀρχῆς, ὥστε τινὰ τῶν ἐκ Πελοποννήσου μέγα φρονοῦντα ἐπὶ τῇ αὑτοῦ εὐγενείᾳ, ἵνα μὴ λέγω δυσγενείᾳ, Εὐφήμιον ἐκεῖνον τὸν περιβόητον γραμματικὸν ἀποσκῶψαι εἰς αὐτὸν τουτοῒ τὸ θρυλούμενον ἰαμβεῖον·

γαρασδοειδὴς ὄψις ἐσθλαβωμένη.

Evstrat. in Aristot. *eth. Nic.* VI 8. 4, 1142a. 2 (*Comm. in Aristot. Gr.* XX, p. 340. 4 sqq. Heylbut) καὶ τὸν τραγικὸν Εὐριπίδην παράγων εἰς μαρτυρίαν οὑτωσὶ λέγοντα ἐν τῷ Φιλοκτήτῃ· (fr. 787. 1 sqq. Nauck²)

πῶς δ᾽ ἂν φρονοίην, ᾧ παρῆν ἀπραγμόνως
ἐν τοῖσι πολλοῖς ἠριθμημένον στρατοῦ
ἴσου μετασχεῖν;

(fr. 788. 2 Nauck²)

τοὺς γὰρ περισσοὺς καί τι πράσσοντας πλέον.

ἐκ τούτων τῶν ἰαμβείων τοῦ Εὐριπίδου λέξεις μόνας εὑρίσκομεν διιστώσας τὴν φρόνησιν ἀπὸ τῆς οἰκονομικῆς καὶ πολιτικῆς, πράγματα δὲ ἢ οὐδ᾽ ὅλως ἢ ἀμυδρῶς … (18 sqq.) ὡς οὖν εἴρηται, ἐκ τῶν Εὐριπίδου ἰαμβείων τοῦτο μόνον σχεδὸν ἐμάθομεν, ὅτι ἄλλος ὁ φρόνιμος καὶ ἄλλος ὁ πολιτικός.

Mich. Eph. in Aristot. *eth. Nic.* V 11. 1, 1136a. 10 (*Comm. in Aristot. Gr.* XXII 3, p. 56. 19 sqq. Hayduc) ὃ μὲν οὖν ζητεῖ, τοῦτο· κατὰ δὲ τὴν λέξιν παρατίθεται τὰ τοῦ Εὐριπίδου ἰαμβεῖα ἐκ τοῦ Βελλεροφόντου (fr. 68 Nauck²) εἰς πίστωσιν τοῦ ἔστιν ἑκόντα ἀδικεῖσθαι.

Mich. Eph. in Aristot. *soph. el.* IV, 166a. 7 sqq. (*Comm. in Aristot. Gr.* II 3, p. 138. 35 sqq. Wallies) ἔστι δὲ τὸ σόφισμα τοιοῦτον· ἆρ᾽ ὁ ἐπιστάμενος λέγειν ἢ πράττειν ἐκεῖνο συνεπίσταται ὃ λέγει ἢ πράττει; ναί· οὗτος δὲ ἐπίσταται λέγειν ἰαμβεῖα· οὗτος ἄρα συνεπίσταται καὶ τὰ ἰαμβεῖα· ἀλλὰ μὴν ἀγνοεῖ τὰ παρ᾽

αὐτῶν δηλούμενα (ὁ γὰρ λόγος ἐπὶ παιδὸς ἢ ἰδιώτου ἠρωτᾶτο)· εἰ οὖν οὗτος [μὲν] ἐπίσταται μὲν λέγειν ἰαμβεῖα, οὐ συνεπίσταται δὲ καὶ τὰ δι᾽ αὐτῶν δηλούμενα (οὐδὲν γὰρ κωλύει ἀποστοματίσαντα ἐπίστασθαι δίχα βιβλίου προφέρειν τε καὶ ἐπαγγέλλειν, ἀγνοεῖν δὲ τὰ δηλούμενα δι᾽ αὐτῶν), ψεῦδος ὅτι συνεπίσταται ... (139. 12 sqq.) εἰδέναι γὰρ δεῖ ὅτι τοῦ μὲν σιγῶντα λέγειν διττὸν μὲν τὸ συμπέρασμα καὶ ἡ πρότασις, τοῦ δὲ μὴ συνεπίστασθαι τὸν ἐπιστάμενον ἡ μὲν πρότασις διττή, τὸ δὲ συμπέρασμα οὐχί· τὸ γὰρ συμπέρασμα τὸ ʻοὗτος ἄρα συνεπίσταται καὶ τὰ ἰαμβεῖαʼ οὐ διττόν.

Evstath. in [Hom.] *Il.* XIII 341 sq. (IV, p. 744. 1 sqq. Valk) σημείωσαι δὲ καὶ ὅτι ἐκ τοῦ «κατά τε ἅρματα ἄξῃς, χάρμα δὲ τοῖς ἄλλοις ἔσῃ» ὡρμήθη γράψαι τις τὸ ἰαμβεῖον ἐκεῖνο·

σὸν ἅρμα χάρμα καὶ γέλως Ἰεφθάε.

Tzetz. in Aristoph. *nub.* 638a (p. 536. 3 Holwerda) μέτρων] ἰαμβείων.

Tzetz. in Aristoph. *nub.* 642a (p. 538. 14 sq. Holwerda) τὸ τρίμετρον] τὸ ἰαμβεῖον (*an* ἰαμβικὸν?) δὶς τρίς.

Tzetz. in Aristoph. *ran.* 948 (p. 970. 13 sqq. Koster) ἔπειτ᾽ ἀπὸ τῶν πρώτων ἐπῶν] παραχρηστικῶς καὶ τὰ ἰαμβεῖα ἔπη καλοῦνται.

Tzetz. in Aristoph. *ran.* 1133 (p. 1032. 9 sqq. Koster) πρὸς τρισῖν ἰαμβείοις] ἢ ʻπρὸςʼ ἀττικῶς παρέλκει. ὁ νοῦς δέ· παραινῶ σοι σιωπᾶν· εἰ δὲ μή, πεισθεὶς ἐμοί, τρισὶν ἰαμβείοις ὀφείλων φανῇ αἰτίας καὶ μώμους.

Trich. 369. 28 sqq. τρίμετρον ἀκατάληκτον ἕκαστον τῶν προκειμένων τεττάρων ἰαμβείων ἐστί.

Schol. in Pind. *Ol.* 9. 3c (I, p. 269. 1 sqq. Drachmann) καλλίνικος ὁ τριπλόος κεχλαδώς] τρὶς ὑμνοῦντο οἱ νικηφόροι, ἅμα τῇ καὶ ἐν τῷ γυμνασίῳ καὶ ἐν τῇ πατρίδι. ἢ ὁ πολλάκις λεγόμενος τῇ νίκῃ. ἢ ἐπειδὴ τρία ἰαμβεῖά εἰσιν (cf. Archil. 324 West).

Schol. in Eur. *Alc.* 820 (II, p. 235. 18 sqq. Schwartz) ἆρα, φησίν, ἀφανὴς ἐγένετό τις τῶν παίδων ἢ ὁ γέρων πατὴρ ἀπέθανεν; ταῦτα δὲ τὰ τρία <ἰαμβεῖα> (*scil.* vv. 818 sqq.) ἔν τισιν οὐκ ἔγκειται.

Schol. in Eur. *Andr.* 80 (II, p. 257. 5 sqq. Schwartz) γέρων ἐκεῖνος] ἀντὶ τοῦ νωθὴς βραδύς, οἷον· τὸ γῆρας αὐτὸν ἐμποδίζει ὥστε ταχέως ἐλθεῖν καὶ βοηθῆσαί σοι. ἄλλως· βραδὺς, φησὶν, ἐκεῖνός ἐστιν ἅτε ὑπὸ τοῦ γήρως ἐμποδιζόμενος ὥστε ἐλθεῖν καὶ βοηθῆσαί σοι. μᾶλλον δὲ ἁρμόζει ὑπὸ τῆς θεραπαίνης τὰ δύο ταῦτα ἰαμβεῖα λέγεσθαι.

Schol. in Eur. *Med.* 520 (II, p. 171. 7 sqq. Schwartz) δεινή τις ὀργή] ἡ διστιχία τοῦ χοροῦ ἐστι. κατὰ δὲ τούτους <τοὺς χρόνους> ἤδη τὰ τῶν χορῶν ἠμαύρωτο. τὰ μὲν γὰρ ἀρχαῖα <δράματα> διὰ τῶν χορῶν ἐπετελεῖτο. ὅθεν καὶ Εὔπολις φησι· (fr. 397 [PCG V 517] Kassel-Austin) τί χορὸς οὗτος κλαίεν εἴπωμεν πυρανιδ** ἵν᾽ ᾖ κατ᾽ αὐτὰ ἰαμβεῖα δύο.

Schol. in Eur. *Or.* 1378 (I, p. 218. 20 sqq. Schwartz) ταυρόκρανος <ἀγκάλαις | ἑλίσσων> κυκλοῖ χθόνα] τοῦτο ἔξωθεν ὁ ποιητὴς πρὸς ἀναπλήρωσιν τοῦ ἰαμβείου προσέθηκεν· οὐ γὰρ ἁρμόττει ἀμαθεῖ γε ὄντι τῷ Φρυγὶ τοῦτο λέγειν.

Schol. in Aristoph. *Ach.* 242b (p. 42. 9 sq. Wilson) vet διπλῆ δὲ μετὰ κορωνίδος, ὅτι εἰσίασιν οἱ ὑποκριταί, καὶ ἔστιν (*scil.* vv. 242 sqq.) ἰαμβεῖα.

Schol. in Aristoph. *Ach.* 398a (p. 62. 1 sqq. Wilson) vet ὁ νοῦς μὲν ἔξω συλλέγων] σκώπτει πάλιν τὸν Εὐριπίδην διὰ τὸ ἐν τοῖς λόγοις εἶναι συλλογιστικόν, καὶ οὗ ἂν λέγῃ τὸ ἐναντίον πάλιν κατασκευάζοντα, οἷον· (*Hipp.* 612)

ἡ γλῶσσ᾽ ὀμώμοχ᾽, ἡ δὲ φρὴν ἀνώμοτος.

οἷον αὐτὸς μὲν ἔσω ἐστίν, ὁ δὲ νοῦς αὐτοῦ συλλογίζεται τῶν ἔξω τι καὶ μετεωρίζεται. παρατηρητέον δὲ ὅτι <τὰ> Εὐριπίδου ἰαμβεῖα ἐπύλλια λέγονται.

Schol. in Aristoph. *Ach.* 398b (p. 62. 15 sqq. Wilson) vet οἷον αὐτὸς μὲν ἔσω ἐστίν, ὁ δὲ νοῦς αὐτοῦ συλλογίζεται τῶν ἔξω τι καὶ μετεωρίζεται. τὰ Εὐριπίδου ἰαμβεῖα ἐπύλλια ἔφη εἶναι. R Tr σκώπτει πάλιν τὸν Εὐριπίδην διὰ τὸ ἐν τοῖς λόγοις συλλογιστικὸν εἶναι. ‘ἐπύλλια’ δὲ εὐτελῶς οὕτω τὰ Εὐριπίδου ἰαμβεῖά φησι. ταῦτα δέ φησι διὰ τὸ εἰρημένον τῷ Εὐριπίδῃ· (*Hipp.* 612)

ἡ γλῶσσ᾽ ὀμώμοχ᾽, ἡ δὲ φρὴν ἀνώμοτος Lh.

Schol. vet. in Aristoph. *nub.* 700c (p. 149. 16 sqq. Holwerda) εἶτα ἐν ἐκθέσει ἰαμβεῖα δύο (*scil.*vv. 709 sq.), ὧν τελευταῖον·

δάκνουσί μ᾽ ἐξέρποντες ENp οἱ Κορίνθοι E.

Schol. rec. in Aristoph. *nub.* 1266. 17 sqq. (p. 176 Koster) Th[1] οἱ μέν φασιν, ὡς ὁ Τληπόλεμος οὗτος ποιητὴς ὢν πεποίηκε τὸν Φιλόξενον ταῦτα τὰ ἰαμβεῖα (*scil.* vv. 1264 sq.) ᾄδειν ἀπὸ τοῦ ‘ὦ σκληρὲ δαῖμον’ μέχρι τοῦ ‘ὥς μ᾽ ἀπώλεσας’.

Schol. rec. in Aristoph. *nub.* 1266b. 4 sqq. (p. 433 Koster) φασίν, ὅτι καὶ ὁ Τληπόλεμος ποιητὴς ἦν· πεποίηκε δὲ τὸν Φιλόξενον λέγοντα ταῦτα τὰ ἰαμβεῖα (*scil.* vv. 1264 sq.) ἀπὸ ... ‘δαίμων ... ἀπώλεσας’.

Schol. in Aristoph. *pac.* 1b. 1 sq. (p. 6 Holwerda) Tr αἶρ᾽ αἶρε] ἡ εἴσθεσις τοῦ δράματος ἐξ ἰαμβείων π΄ συνήθων.

Schol. in Aristoph. *pac.* 102a β. 1 sqq. (p. 25 Holwerda) Tr οὐκ ἔσθ᾽ ὅπως] τὰ ἑξῆς ιβ΄ (*scil.* vv. 102 sqq.) ἰαμ<βεῖα>, ὧν ἐπὶ τῷ παράγραφος Ald.

Schol. in Aristoph. *pac.* 124b β. 1 sqq. (p. 28 Holwerda) Tr καὶ τίς πόρος σοι] εἴσθεσις διπλῆς ἀμοιβαίας LhAld ἰαμβείων λ΄ διπλῇ ἔξω νενευκυίᾳ περατουμένων Ald.

Schol. in Aristoph. *pac.* 154b β. 1 sqq. (p. 33 Holwerda) Tr ἔκθεσις τῆς διπλῆς ἐκ στίχων ἀναπαιστικῶν διμέτρων ἀκαταλήκτων πλὴν τοῦ τελευταίου (v. 172)· τοῦτο γὰρ ἑφθημιμερές. ὑφ᾽ ὃ αἱ συνήθεις δύο διπλαῖ. ἐν εἰσθέσει δὲ ἰαμβεῖα ζ΄ (vv. 173 sqq.). ἐπὶ τῷ τέλει κορωνίς Ald.

Schol. in Aristoph. *pac.* 180a β. 1 sqq. (p. 36 Holwerda) Tr πόθεν βροτοῦ LhAld με Lh] κορωνὶς καὶ εἴσθεσις ἀμοιβαία. LhAld ἐξ ἰαμβείων νς΄. Ald ἐπὶ τῷ τέλει κορωνίς LhAld.

Schol. in Aristoph. *pac.* 356d. 1 sqq. (p. 59 Holwerda) vet δορὶ σὺν ἀσπίδι] Ἀχαιοῦ ἐστιν ἐκ Μώμου. οὐδὲν δὲ χεῖρον ὁλόκληρον θεῖναι τὸ ἰαμβεῖον, ὅπερ οὕτως ἔχει· (fr. 29 [TrGF I, p. 123] Snell)

Ἄρης ὁ λῃστὴς σῦν δορὶ σὺν ἀσπίδι.

Schol. in Aristoph. *pac.* 361a β. 1 sqq. (p. 59 Holwerda) Tr φέρε δὴ κατίδω LhAld] σύστημα κατὰ περικοπὴν ἀνομοιομερὲς LhbisAld ἰαμβείων κβ΄ Ald.

Schol. in Aristoph. *pac.* 426b β. 5 sqq. (p. 70 Holwerda) Tr τὰ δὲ ἑξῆς (vv. 435 sqq.) ἰαμβεῖα μέχρι τοῦ· Ald (v. 458)

ὑπότεινε δὴ πᾶς καὶ κατάγε τοῖσιν κάλως.

ἐπὶ τῷ τέλει κορωνίς LhAld.

Schol. in Aristoph. *pac.* 500a β. 1 sq. (p. 81 Holwerda) Tr ὦ ᾿νδρες Μεγαρεῖς] ἕτερον σύστημα κατὰ περικοπὴν ἀνομοιομερὲς ἰαμβείων Ald η´ LhAld.

Schol. in Aristoph. *pac.* 651c. 1 sqq. (p. 103 Holwerda) Mus ἅττ᾽ ἂν οὖν λέγῃς] διπλῆ καὶ ἔκθεσις εἰς μέλος τροχαικόν· οὗ πέντε μέν (vv. 651 sqq.) ἐστι κῶλα δίμετρα ἀκατάληκτα, τὸ δὲ ς´ (v. 656) ἑφθημιμερές. ἐν ἐκθέσει δὲ ἰαμβεῖον (v. 657). ὑφ᾽ ὃ αἱ ἀμφοτέρωθεν ἔξω διπλαῖ Ald.

Schol. in Aristoph. *pac.* 868 β. 1 sq. (p. 132 Holwerda) Tr ἡ παῖς λέλουται] κορωνὶς ἑτέρα εἰσιόντων τῶν ὑποκριτῶν LhAld ἐξ ἰαμβείων μα´ Ald.

Schol. in Aristoph. *pac.* 943a β. 1 sqq. (p. 144 Holwerda) Tr τούτων δ᾽ ἃ μὲν δίμετρά εἰσιν ἀκατάληκτα, ἃ δ᾽ ἑφθημιμερῆ καὶ βάσεις· μετὰ δὲ ταῦτα ἰαμβεῖα ζ´ Ald.

Schol. in Aristoph. *pac.* 1039b β. 3 sqq. (p. 152 Holwerda) Tr οἱ ἑξῆς δέκα δακτυλικοὶ LhAld ὅμοιοι Lh ἑξάμετροι LhAld μεθ᾽ οὓς ἰαμβεῖα ιβ´· Ald ὧν τελευταῖος· (v. 1126)

οὐκ ἀποπετήσει θᾶττον εἰς Ἐλύμνιον·

ἐπὶ ταῖς ἀποθέσεσι παράγραφος. ἐπὶ τῷ τέλει κορωνίς LhAld.

Schol. in Aristoph. *ran.* 947 (p. 302a. 7 sq. Dübner) ἢ τὸ σαυτοῦ] ὅτι δυσγενὴς ὁ Εὐριπίδης. ‘ἐπῶν’ δέ, τῶν ἰαμβείων. ἔπη γὰρ καὶ αὐτὰ καλοῦσιν.

Schol. in Aristoph. *ran.* 1130 (p. 306a. 26 sq. Dübner) ἀλλ᾽ ἢ τρία] ἔξωθεν προσληπτέον τὸ ‘ἔπη’, ἢ ἰαμβεῖα.

Schol. in Aristoph. *ran.* 1267 (p. 308b. 35 sqq. Dübner) ἰστέον ὅτι τὸ ‘ἰήκοπον οὐ πελάθεις ἐπ᾽ ἀρωγὰν’ (vv. 1265, 1267, 1271, 1275, 1277) παίζων πανταχοῦ ἐπιφέρει, κυρίως ἐκείνων τῶν ἰαμβείων ὂν τοῦ (v. 1264) ‘Φθιῶτ᾽ Ἀχιλεῦ’.

Schol. in Plat. *resp.* VIII 18, 568b (p. 266 Greene) ‘σοφοὶ τύραννοι’ εἰσι ‘τῶν σοφῶν συνουσίᾳ’] τοῦτο Σοφοκλέους ἐστὶν ἐξ Αἴαντος τοῦ Λοκροῦ (fr. 14 [TrGF II, p. 120] Radt). ἐνταῦθα δὲ Εὐριπίδου λέγεται τὸ ἰαμβεῖον (ἰάμβιον *cod.*, *corr. Ruhnken*) εἶναι· καὶ θαυμαστὸν οὐδὲν εἰ συμπίπτοιεν ἀλλήλοις οἱ ποιηταί.

Schol. in Demosth. *or.* 19. 464a-b (II, p. 79. 29 sqq. Dilts) <ὅστις δ᾽ ὁμιλῶν>] γνώμη Εὐριπίδου ἐκ Φοίνικος (fr. 812. 7 Nauck²) F¹. παρῴδησε τὸ ἰαμβεῖον ἐκ τοῦ ὁμοίου. εἰ γὰρ ὁ φαύλοις συνὼν φαῦλος, οὐκοῦν καὶ ὁ δωροδόκοις συνὼν δωροδόκος A.

Anon. in Aristot. *rhet.* III 1. 9, 1404a. 30 (*Comm. in Aristot. Gr.* XXI 2, p. 163. 6 sqq. Rabe) ὥσπερ καὶ οἱ τραγῳδοὶ τετραμέτροις στίχοις χρώμενοι κατέλειψαν τὸ τετράμετρον καὶ χρῶνται τῷ ἰαμβείῳ διὰ τὸ μόνον τὸν ἴαμβον ἀπὸ πάντων τῶν ἄλλων μέτρων ἐγγίζειν τῷ λόγῳ τῷ πεζῷ, οὕτω καὶ οἱ ῥήτορες ἀφήκασι τὸ χρᾶσθαι λέξεσιν, ὅσαι εἰσὶ παρὰ τὴν διάλεκτον, ἤτοι τῆς ποιητικῆς διαλέκτου.

Anon. in Aristot. *rhet.* III 3. 3, 1406b. 3 (*Comm. in Aristot. Gr.* XXI 2, p. 177. 8 sqq. Rabe) ἡ δὲ μεταφορικὴ λέξις ἁρμόζει τοῖς ἰαμβείοις στίχοις· τούτοις γὰρ τοῖς ἰαμβείοις χρῶνται νῦν.

Anon. in Aristot. *rhet.* III 8. 3, 1408b. 30 (*Comm. in Aristot. Gr.* XXI 2, p. 191. 22 sqq. Rabe) διὸ πολλῶν ὄντων τῶν μέτρων, ἡρωικῶν, ἀναπαιστικῶν, τροχαικῶν, ἀπὸ πάντων τῶν μέτρων μάλιστα χρῶνται τῷ ἰαμβείῳ μέτρῳ καὶ ἰαμβεῖα

φθέγγονται ... (32 sq. Rabe) ἐπὶ γὰρ τῶν ἰαμβείων τοὺς δύο πόδας λαμβάνουσιν ὡς ἓν καὶ κατὰ συζυγίαν μετροῦσιν αὐτούς, ὅθεν καὶ τρίμετροι λέγονται.

Anon. in Aristot. *rhet.* III 9. 4, 1409b. 8 (*Comm. in Aristot. Gr.* XXI 2, p. 195. 18 sqq. Rabe) δεῖ δὲ τὴν περίοδον ἀπαρτίζειν διάνοιαν τελείαν, οἷά εἰσι καὶ τὰ τοῦ Σοφοκλέους ἰαμβεῖα· καὶ τὰ τοιαῦτα γὰρ περιοδικά εἰσι καὶ ἐν δυσὶ κώλοις ἢ ἑνὶ κώλῳ διάνοιαν ἀπαρτίζουσιν, ὡς τό· (Soph. *Ai.* 1 sq.)

> ἀεὶ <μέν>, ὦ παῖ Λαρτίου, δέδορκά σε
> πεῖράν τιν᾽ ἐχθρῶν ἁρπάσαι πειρώμενον.

τὰ δὲ τοῦ Εὐριπίδου ἰαμβεῖα εἰρομένην λέξιν ἔχουσι· μακρὰς γὰρ τὰς ἀποδόσεις ἔχουσιν, ὡς τό· (Eur. *Hec.* 1)

> ἥκω νεκρῶν κευθμῶνα.

ἡ ὅλη γοῦν περίοδος ὀφείλει ἀπαρτίζειν διάνοιαν καὶ τὸ ὅλον κῶλον, μὴ μέντοι γε δὲ διακόπτεσθαι ταῖς στιγμαῖς, οἷά εἰσι τὰ κατὰ σύνθεσιν καὶ διαίρεσιν· καὶ ἐνταῦθα μὲν διαστίξαντες ἄλλην διάνοιαν ἀπαρτίσομεν, ἐνταῦθα δὲ διαστίξαντες ἄλλην, οἷόν ἐστι τό· (trag. adesp. 188 [TrGF II, p. 67] Kannicht-Snell)

> γένοιτο, Ζεῦ, τὸν σῦν καταβαλεῖν ἐμέ,

καὶ οἷόν ἐστι καὶ τό· (Eur. fr. 515. 1 Nauck[2])

> Καλυδὼν <μὲν> ἥδε γαῖα Πελοπίας χθονός·

εἰ μὲν γὰρ στίξομεν εἰς τὸ 'ἥδε', νοεῖται, ὅτι αὕτη ἡ Καλυδών ἐστι γῆ, καὶ μέρος τῆς Πελοποννήσου, εἰ δὲ στίξομεν εἰς τὸ 'μέν', νοεῖται ὅτι ἥδε ἡ γῆ τῆς Πελοποννήσου ἐστὶ Καλυδών, καὶ νοεῖται ἡ μὲν Καλυδὼν ὅλον, ἡ δὲ Πελοπόννησος μέρος τῆς Καλυδῶνος, ὡς τὰ ὅλα ὀνομάζεσθαι Καλυδών.

Anon. in Aristot. *eth. Nic.* V 11. 1, 1136a. 10 (*Comm. in Aristot. Gr.* XX, p. 240. 28 sqq. Heylbut) εἰπὼν ἐν τοῖς ἔμπροσθεν τί τὸ ἀδικεῖν καὶ ἀδικεῖσθαι καὶ ὁσαχῶς, νῦν ἀπορεῖ εἰ ἔστι καὶ ἑκόντα ἀδικεῖσθαι, καὶ τὰ τοῦ Εὐριπίδου παρατίθεται ἰαμβεῖα ἐκ τοῦ Βελλεροφόντου μαρτυρίαν (fr. 68 Nauck[2]).

Anon. Fragm. in Aristot. *rhet.* III 14. 10, 1415b. 20 (*Comm. in Aristot. Gr.* XXI 2, p. 328. 12 sqq. Rabe) (Soph. *Ant.* 223 sq.)

> ἄναξ, ἐρῶ μὲν οὐχ ὅπως τάχους ὕπο
> δύσπνους ἱκάνω κοῦφον ἐξάρας πόδα.

ὁ Κρέων ἐπεὶ ἔπεμψέ τινα ὥστε ἰδεῖν, εἰ ἄθαπτος ὁ Πολυνείκης, ὁ δὲ εὗρεν ἐκεῖνον τεθαμμένον, ἀνεπτερωμένος τὴν ἀκοὴν ἵστατο. ἔρχεται οὖν ὁ ἄγγελος καὶ ταῦτα τὰ ἰαμβεῖά φησιν· «οὐ τοσοῦτον εἴπω σοι τὸ πῶς ὀλίγα — ὁ δὲ ἐλθὼν δύσπνους εἰμὶ διὰ τὸ πολὺ τάχος —, ἀλλ᾽ ὅτι οὐδέν σοι μέλλω εἰπεῖν ἤτοι οὐχ ὃ ἀποδεκτόν σοι μέλλω ἐρεῖν, ἀλλ᾽ ὃ εἰς λύπην μᾶλλόν σοί ἐστιν, τὸ μαθεῖν σε δηλαδή, ὅτι παρά του τέθαπται Πολυνείκης».

Anon. Fragm. in Aristot. *rhet.* III 15. 8, 1416a. 28 (*Comm. in Aristot. Gr.* XXI 2, p. 323. 15 sq. Rabe) «ἀσεβὴς ἄρα ἐστὶν ὁ Εὐριπίδης», φησὶν ὁ Ὑγιαίνων, «διδάξας ἀπὸ τούτου τοῦ ἰαμβείου (*Hipp.* 612) ὁρκωμοτεῖν τοὺς ἀνθρώπους».

Schol. in Ael. Aristid. *rhet.* 33. 10 (p. 398. 7 sqq. Dindorf) ἔν τινι δράματι Εὐριπίδης οὕτως ἔφη· (*Hipp.* 352)

> σοῦ τάδ᾽, οὐκ ἐμοῦ κλύεις.

προσπαίζων οὖν ὁ Πλάτων εἰς τὸ τοῦ Εὐριπίδου ἰαμβεῖον οὐκ ἐμὸς ὁ μῦθος φησίν. [*G.M.*]